†ἄκρον ἐς Κολοφῶνα· γόων δ' ἐνεπλήσατο βίβλους
†ἱερὰς ἐκ παντὸς παυσάμενος καμάτου.

41 Νυσ- scripsi: λυσ- cod. 43 Σαρδιανὴν Hermann: Δαρδανίη Dalecampius: ἀδρανίη Kaibel 44 κλαίων αἰάζων τ' Ilgen 'Αζειῶν Harberton 45 fort. ἀβρὴν 46 ἱρὰς Musurus

Ps.-Plut. *cons. ad Apoll.* 9 p. 106b ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ καὶ 'Αντίμαχος ὁ ποιητής. ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτῷ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωικὰς συμφοράς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην.

---

**56** Schol. Ap. Rhod. 1. 211 - 5c, "Ζήτης καὶ Κάλαϊς" . . . καταλέγει δὲ τούτους (sc. ἐν τοῖς 'Αργοναύταις) καὶ 'Αντίμαχος.

**57** P. Berol. 12605 (ostr., iii a. C.), ed. Wilamowitz, *Sitz.-Ber. preuss. Ak.* 1918, 741

ἐν δ' ἱστὸν θῆκεν, λαίφεσι δὲ λινέοις
σοῦσ' ἐτίθει παντοῖα θεά, πόδας ἠδὲ κάλωας,
ἐν δ' ὑπέρας στρεπτάς, ὅπλα τε πάντα νεώς.

**58** Schol. Ap. Rhod. 1. 1289 - 91a 'Απολλώνιος μὲν οὖν ἀπολελεῖφθαί φησι τὸν 'Ηρακλέα περὶ Κίον, ἐκβάντα ἐπὶ τὴν "Υλα ζήτησιν. . . 'Αντίμαχος δὲ ἐν τῇ Λύδῃ φησὶν ὑπὸ τῶν ἡρώων ἐκβιβασθῆναι αὐτὸν διὰ τὸ καταβαρεῖσθαι τὴν 'Αργώ.

**59** Schol. Ap. Rhod. 2. 178-82a, " 'Αγηνορίδης ἔχε Φινεύς"·



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/30 UNIVERSITÄT LEIPZIG